| Prüfungsteilnehmer | Prüfungstermin | Einzelprüfungsnummer |
|---|---|---|
| Kennzahl: ______<br>Kennwort: ______<br>Arbeitsplatz-Nr.: ______ | **Herbst 2017** | **62510** |

# Erste Staatsprüfung für ein Lehramt an öffentlichen Schulen
## — Prüfungsaufgaben —

Fach: **Griechisch (vertieft studiert)**

Einzelprüfung: **Übersetzung Griechisch/Deutsch**

Anzahl der gestellten Themen (Aufgaben): **1**

Anzahl der Druckseiten dieser Vorlage: **3**

**Bitte wenden!**

Der nachstehende Text ist in angemessenes Deutsch zu übersetzen!

Kastor zu Orest

Ἀγαμέμνονοϲ παῖ, κλῦθι· δίπτυχοι δέ ϲε
καλοῦϲι μητρὸϲ ϲύγγονοι Διόϲκοροι,
Κάϲτωρ καϲίγνητόϲ τε Πολυδεύκηϲ ὅδε.
δεινὸν δὲ ναυϲὶν ἀρτίωϲ πόντου ϲάλον
παύϲαντ’ ἀφίγμεθ’ Ἄργοϲ, ὡϲ ἐϲείδομεν
ϲφαγὰϲ ἀδελφῆϲ τῆϲδε, μητέροϲ δὲ ϲῆϲ.
δίκαια μέν νυν ἥδ’ ἔχει, ϲὺ δ’ οὐχὶ δρᾶιϲ.
Φοῖβοϲ δέ, Φοῖβοϲ — ἀλλ’ ἄναξ γάρ ἐϲτ’ ἐμόϲ,
ϲιγῶ· ϲοφὸϲ δ’ ὢν οὐκ ἔχρηϲέ ϲοι ϲοφά.
αἰνεῖν δ’ ἀνάγκη ταῦτα· τἀντεῦθεν δὲ χρὴ
πράϲϲειν ἃ Μοῖρα Ζεύϲ τ’ ἔκρανε ϲοῦ πέρι.
Πυλάδηι μὲν Ἠλέκτραν δὸϲ ἄλοχον ἐϲ δόμουϲ,
ϲὺ δ’ Ἄργοϲ ἔκλιπ’· οὐ γὰρ ἔϲτι ϲοὶ πόλιν
τήνδ’ ἐμβατεύειν, μητέρα κτείναντα ϲήν.
δειναὶ δὲ Κῆρέϲ ⟨ϲ’⟩ αἱ κυνώπιδεϲ θεαὶ
τροχηλατήϲουϲ’ ἐμμανῆ πλανώμενον.
ἐλθὼν δ’ Ἀθήναϲ Παλλάδοϲ ϲεμνὸν βρέταϲ
πρόϲπτυξον· εἵρξει γάρ νιν ἐπτοημέναϲ
δεινοῖϲ δράκουϲιν ὥϲτε μὴ ψαύειν ϲέθεν,
γοργῶφ’ ὑπερτείνουϲα ϲῶι κάραι κύκλον.

**Fortsetzung nächste Seite!**

ἔϲτιν δ' Ἄρεώϲ τιϲ ὄχθοϲ, οὗ πρῶτον θεοὶ
ἕζοντ' ἐπὶ ψήφοιϲιν αἵματοϲ πέρι,
Ἁλιρρόθιον ὅτ' ἔκταν' ὠμόφρων Ἄρηϲ,
μῆνιν θυγατρὸϲ ἀνοϲίων νυμφευμάτων,
πόντου κρέοντοϲ παῖδ', ἵν' εὐϲεβεϲτάτη
ψήφου βεβαία τ' ἐϲτὶν ἐκ τούτου θέϲιϲ.
ἐνταῦθα καὶ ϲὲ δεῖ δραμεῖν φόνου πέρι.
ἴϲαι δέ ϲ' ἐκϲώϲουϲι μὴ θανεῖν δίκηι
ψῆφοι τεθεῖϲαι· Λοξίαϲ γὰρ αἰτίαν
ἐϲ αὐτὸν οἴϲει, μητέροϲ χρήϲαϲ φόνον.
καὶ τοῖϲι λοιποῖϲ ὅδε νόμοϲ τεθήϲεται,
νικᾶν ἴϲαιϲ ψήφοιϲι τὸν φεύγοντ' ἀεί.
δειναὶ μὲν οὖν θεαὶ τῶιδ' ἄχει πεπληγμέναι
πάγον παρ' αὐτὸν χάϲμα δύϲονται χθονόϲ,
ϲεμνὸν βροτοῖϲιν εὐϲεβέϲι χρηϲτήριον.
ϲὲ δ' Ἀρκάδων χρὴ πόλιν ἐπ' Ἀλφειοῦ ῥοαῖϲ
οἰκεῖν Λυκαίου πληϲίον ϲηκώματοϲ·
ἐπώνυμοϲ δὲ ϲοῦ πόλιϲ κεκλήϲεται.
ϲοὶ μὲν τάδ' εἶπον. τόνδε δ' Αἰγίϲθου νέκυν
Ἄργουϲ πολῖται γῆϲ καλύψουϲιν τάφωι.
μητέρα δὲ τὴν ϲὴν ἄρτι Ναυπλίαν παρὼν
Μενέλαοϲ, ἐξ οὗ Τρωϊκὴν εἷλε χθόνα,
Ἑλένη τε θάψει· Πρωτέωϲ γὰρ ἐκ δόμων
ἥκει λιποῦϲ' Αἴγυπτον οὐδ' ἦλθεν Φρύγαϲ·
Ζεὺϲ δ', ὡϲ ἔριϲ γένοιτο καὶ φόνοϲ βροτῶν,
εἴδωλον Ἑλένηϲ ἐξέπεμψ' ἐϲ Ἴλιον.

Z. 37: τὸ σήκωμα heiliger Hain, Heiligtum